# TEZAUR LITURGIC

## 6 MARTIE

HARALAMBOS BOUSIA

# SLUJBA AFLĂRII SFINTEI CRUCI LA IERUSALIM

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 06 ΜΑΡΤΙΟΣ
# ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ ΕΥΡΕΣΙΣ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α’. Τῶν οὐρανίων Ταγμάτων.

Ὁ ζωηφόρος Κυρίου Σταυρὸς τὸ στήριγμα, Χριστιανῶν ἁπάντων, Παραδείσου ἡ θύρα, τὸ νῖκος εὐσεβείας τὸ ἱερόν, Ἀθλητῶν τὸ κραταίωμα, καὶ ἀσθενούντων ὁ ἄμισθος ἰατρός, τοῖς πιστοῖς βραβεύει δύναμιν.

Ἐπὶ τῇ θείᾳ εὑρέσει πανηγυρίσωμεν, Σταυροῦ τοῦ σεβασμίου, τῆς ἀρχαίας κατάρας, λυτῆρος τῶν ἀνθρώπων καὶ τῆς χαρᾶς, τοῦ σημείου κραυγάζοντες· χαῖρε ἡ ῥάβδος δυνάμεως εὐσεβῶν, ὑφ’ ἧς πάντες ποιμαινόμεθα.

Χαῖρε καὶ σκίρτα Ἑλένη σεμνὴ βασίλισσα, ὅτι κατηξιώθης, ἀνευρεῖν τοῦ Κυρίου, Σταυρὸν ἐν ᾧ ὑψώθη ὁ Λυτρωτής, ἵνα γένος πρὸς εὔκλειαν, ἑλκύσῃ ἄληκτον ἅπαν τῶν χοϊκῶν, καὶ ζωὴν τὴν αἰωνίζουσαν.

Δεῦτε πιστοὶ συνελθόντες Σταυρὸν τὸν τίμιον, ἐπὶ τῇ ἀνερεύσει, ἐν τῆς γῆς τοῖς ἐγκάτοις, Αὐτοῦ τοῖς μυροβόλοις μελῳδιῶν, καταστέψωμεν ἄνθεσι, θερμῶς βοῶντες· Κυρίου χαῖρε Σταυρέ, Ξύλον ὄντως θεοδώρητον.

*Δόξα. Ἦχος β΄.*

Ὡς ὄλβον πολυτίμητον, καὶ θησαυρὸν τιμαλφέστατον, τὸν ἐν τοῖς λαγόσι τῆς γῆς κεκρυμμένον, ἡ βασιλὶς Ἑλένη ἀνείλκυσε Σταυρὸν τοῦ Κυρίου, καὶ τοῖς πιστοῖς εἰς ἁγιασμὸν παρέδωκεν αἰωνίως· ὅθεν σήμερον αὐτοῦ τὴν ἀνεύρεσιν, καὶ εἰς κοινὴν τῶν χριστιανῶν θέαν ἀνύψωσιν, περιχαρῶς ἑορτάζοντες, ὡς φύλακα ἡμῶν ἄγρυπνον προβάλλομεν, καὶ στηριγμὸν τῶν κλονουμένων ἀδιάσειστον.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Σήμερον ὁ Σταυρός, Χριστοῦ ὁ ζωηφόρος, ἐκ τῶν τῆς γῆς λαγόνων, ἑλκύεται πρὸς πάντων, ἁγιασμὸν καὶ δύναμιν.

Στ.: *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τὸ ὑποποδίον τῶν ποδῶν Αὐτοῦ.*

Ἔλυσε τῆς Μεῤῥᾶς, ὑδάτων τὴν πικρίαν, Μωσῆς διὰ τοῦ ξύλου, Σταυροῦ τοῦ προτυποῦντος, Κυρίου τὴν ἐνέργειαν.

Στ.: *Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν, σωτηρίαν εἰργάσατο ἐκ μέσων τῆς γῆς.*

Χαῖρε Σταυρὲ Χριστοῦ, ὃν βασιλὶς Ἑλένη, ἀνεῦρεν καὶ ὃν πίστει, καὶ πόθῳ προσκυνοῦντες, ἡμεῖς ἁγιαζόμεθα.

*Δόξα. Τριαδικόν.*

Ξύλον τὸ τοῦ Σταυροῦ, τρισύνθετον ὑπάρχων, τὰς τρεῖς σεπτάς Σου φύσεις, ἐν μιᾷ ὑποστάσει, δηλοῖ Τριὰς πανύμνητε.

*Καὶ νῦν. Θεοτοκίον.*

Μῆτερ τοῦ Λυτρωτοῦ, τοῖς πόθῳ ἐκζητοῦσι, τὴν θείαν αρὠγήν Σου, βοήθει καὶ ὁδήγει, αὐτοὺς πρὸς ἀφθαρτότητα.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α'.*

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

*Δόξα. Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τοῦ Σταυροῦ τοῦ Σωτῆρος ἡμῶν τὴν εὕρεσιν, ὑπὸ Ἑλένης Ἁγίας, ἐν τοῖς λαγόσι τῆς γῆς, ἀνυμνοῦντες οἱ πιστοὶ εὐτάκτως κράζομεν· Ξύλον πανάγιο σεπτόν, καὶ μακάριον ἐν ᾧ, ἐτάθη Χριστὸς ἡ πάντων, ζωὴ σταυρῶσαι τὰ πάθη, ἡμᾶς δυνάμει Σου ἀξίωσον.

*Καὶ νῦν ... Θεοτοκίον*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

*Ἀπόλυσις.*

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ᾽ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.

Τοῦ ζωηφόρου Σταυροῦ τοῦ Θεανθρώπου, δεῦτε ἑορτάσωμεν τὴν θείαν εὕρεσιν, δι᾽ ἧς χαρᾶς ἐπληρώθησαν, πιστῶν χορεῖαι, αἱ κυριεύουσαι τὴν ὑφήλιον, καὶ ψαλμοῖς καὶ ᾄσμασιν, εὐήχοις χαρμονικῶς, δοξολογήσωμεν Κύριον, Ἐσταυρωμένον, τὸν διεστῶτα στεῤῥῶς ἑνώσαντα, δι᾽ ἁμαρτίαν καὶ ἀπείθειαν, πρὶν κραυγάζοντες· Ξύλον σωτήριον, τῇ δυνάμει σου σάλον, ἁμαρτάδων ἡμῶν κόπασον.

Χορεία σήμερον πάντων χριστωνύμων, χαίρει καὶ ἀγάλλεται Σταυρὲ τρισόλβιε, τῆς σῆς πανσέπτου εὑρέσεως, ἐν τοῖς ἐγκάτοις, τῆς γῆς ἐπέτειον ἑορτάζουσα, φαίνει γὰρ τοῖς σύμπασιν, οὗτος ἀεὶ τηλαυγῶς, τοῖς φωτοβόλοις πυρσεύμασι, τοῦ προσπαγέντος, αὐτῷ Κυρίου τοῦ Παντοκράτορος, Οὗ τῇ δυνάμει κραταιούμενοι, σοὶ βοῶμεν· Σταυρὲ πανσεβάσμιε, Ἰησοῦν τοὺς ἐμπράκτως, μεγαλύνοντας ἁγίασον.

Σταυροῦ Κυρίου τὴν εὕρεσιν ὑμνοῦντες, σήμερον τὴν πάντιμον πιστῶς κραυγάζομεν· Ξύλον τρισύνθετον ἅγιον, καὶ ζωηφόρον, ἐν ᾧ ἐτάφη ὁ ὑπερένδοξος, Κύριος τοῦ σύμπαντος, ἵνα ζωώσῃ βροτούς, τοὺς τεθνεῶτας τοῖς πάθεσι, καὶ ἁμαρτίαις, καὶ ἀνυψώσῃ ὡς πολυεύσπλαγχνος, ἐκ γῆς πρὸς

δώματα οὐράνια, τοὺς τὰ ἄχραντα Πάθη δοξάζοντας, ἐν ψυχῆς κατανύξει, καὶ σεπτὰ Αὐτοῦ ἀείποτε.

*Ἕτερα. Ὁ αὐτός. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Ὁ Σταυρὸς ὁ πανάγιος, Κωνσταντίνου τὸ τρόπαιον, καὶ πιστῶν ἁπάντων στεῤῥὸν κραταίωμα, ὁ ἐμπιπλῶν τοῖς δοξάζουσιν, ἀπαύστως τὸν Κύριον, σθένους θείου τοῖς πιστῶς, τὴν σὴν εὕρεσιν σήμερον, ἑορτάζουσι, χαρμονῆς καὶ ἰσχύος πλῆσον πᾶσι, καὶ ζωῆς τῆς αἰωνίου, τῆς ἐν τῷ πόλῳ ἀξίωσον.

Τὴν ἀνάμνησιν ἄγοντες, τῆς λαμπρᾶς σου εὑρέσεως, ἐν Κρανίου τόπῳ ὃν καθηγίασεν, Αὐτοῦ ἀχράντοις παθήμασι, Χριστὸς ὁ Θεάνθρωπος, ἐπὶ σοὶ ὁ προσπαγείς, ἵνα σώσῃ κολάσεως, γένος βρότειον, αἰωνίου βοῶμεν· ζωηφόρε, καὶ σεπτὲ Σταυρὲ ἀπαύστως, σκέπε πιστοὺς τῇ σῇ χάριτι.

Ὑπὲρ ἥλιον ἔλαμψας, ὡς εὑρέθη χρυσάκτινε, τοῦ Παμβασιλέως Χριστοῦ καὶ πάνσεπτε, Σταυρὲ τῆς κτίσεως πέρατα, φωτίζων καὶ ἅπαντας, διεγείρων τοὺς πιστούς, πρὸς λαμπρὰν καὶ ἀέναον, δοξολόγησιν, τοῦ ἐν σοὶ προσπαγέντος ζωοδότου, Ἰησοῦ Ἐσταυρωμένου, Λόγου Θεοῦ τοῦ Παντάνακτος.

*Δόξα. Ἦχος πλ. β΄.*

Δεῦτε ὁ τοῦ Θεοῦ λαὸς ὁ περιούσιος, ἐν ἀγαλλιάσει ψυχῆς ἑορτάσωμεν, τὴν τοῦ Τιμίου Σταυροῦ τοῦ Θεανθρώπου ἀνεύρεσιν, εὐχαρίστως βοῶντες· χαῖρε, καύχημα πιστῶν ἐξαίρετον, καὶ ἀσφαλὲς αὐτῶν προσφύγιον· χαῖρε, ξύλον εὐθαλέστατον, καρπὸν

πολύφορον φέρων βροτῶν σωτηρίας· χαῖρε, νίκης ἡμῶν σύμβολον, καὶ δεινὸν δαιμόνων φυγαδευτήριον. Ἀλλ’ ὢ Σταυρὲ πανσεβάσμιε, στήριγμα τῶν εὐσεβῶν καὶ κραταίωμα, δυνάμει τοῦ ἐπὶ σοὶ σταυρωθέντος Υἱοῦ τοῦ Θεοῦ, μὴ παύσῃ δεικνύων ἡμῖν ὁδὸν τὴν σωτήριον.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν.*

*Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.(Κεφ. 15, 22-27 & 16, 1)*

Ἐξῆρε Μωϋσῆς τοὺς υἱούς, Ἰσραὴλ ἀπὸ θαλάσσης Ἐρυθρᾶς, καὶ ἤγαγεν αὐτοὺς εἰς τὴν ἔρημον Σούρ· καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ, καὶ οὐχ εὕρισκον ὕδωρ ὥστε πιεῖν. Ἦλθον δὲ εἰς Μερράν, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ Μερρᾶς· πικρὸν γὰρ ἦν· διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Πικρία. Καὶ διεγόγγυζεν ὁ λαὸς κατὰ Μωϋσῆ λέγοντες· Τὶ πιώμεθα; Ἐβόησε δὲ Μωϋσῆς πρὸς Κύριον, καὶ

ἔδειξεν αὐτῷ Κύριος ξύλον καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ· ἐκεῖ ἔθετο αὐτῷ δικαιώματα καὶ κρίσεις, καὶ ἐκεῖ αὐτὸν ἐπείραζε καὶ εἶπεν· Ἐὰν ἀκοῇ ἀκούσῃ Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιήσῃς, καὶ ἐνωτίσῃ τὰς ἐντολὰς αὐτοῦ καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον, ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σέ· ἐγὼ γάρ εἰμι Κύριος ὁ ἰώμενός σε. Καὶ ἦλθον εἰς Αἰλείμ, καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα στελέχη φοινίκων, παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα. Ἀπῆραν δὲ ἐξ Αἰλείμ, καὶ ἦλθε πᾶσα ἡ συναγωγὴ υἱῶν Ἰσραὴλ εἰς τὴν ἔρημον Σίν, ὅ ἐστιν, ἀναμέσον Αἰλείμ, καὶ ἀναμέσον Σινᾶ.

*Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. 3, 11-18)*

Υἱέ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ᾿ αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν, οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστὸς ἐστι πᾶσι τοῖς ἀγαπῶσιν αὐτήν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστι. Μῆκος γὰρ βίου, καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαί, καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς μετ᾿ εἰρήνης· Ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις

αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτήν, ὡς ἐπὶ Κύριον ἀσφαλής.

*Προφητείας Ἡσαΐου τὸ Αναγνωσμα (Κεφ. 60, 11-16)*

Τάδε λέγει Κύριος· Ἀνοιχθήσονται αἱ πύλαι σου Ἱερουσαλὴμ ἡμέρας καὶ νυκτὸς οὐ διὰ παντός, κλεισθήσονται, τοῦ εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν, καὶ βασιλεῖς αὐτῶν ἀγομένους. Τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς, οἵτινές σοι οὐ δουλεύσουσιν ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσονται. Καὶ ἡ δόξα του Λιβάνου πρὸς σὲ ἥξει, ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ, ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου, καὶ τὸν τόπον τῶν ποδῶν μου δοξάσω. Καὶ πορεύσονται πρὸς σὲ δεδοικότες οἱ υἱοὶ τῶν ταπεινωσάντων σε, καὶ παροξυνάντων σε, καὶ προσκυνήσουσιν ἐπὶ τὰ ἴχνη τῶν ποδῶν σου πάντες οἱ παροξύναντές σε, καὶ κληθήσῃ Πόλις Κυρίου Σιὼν τοῦ Ἁγίου Ἰσραήλ, διὰ τὸ γεγενῆσθαί σε καταλελειμμένην καὶ μεμισημένην, Καὶ οὐκ ἦν ὁ βοηθῶν σοι· καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεαῖς γενεῶν. Καὶ θηλάσεις γάλα ἐθνῶν, καὶ πλοῦτον βασιλέων φάγεσαι καὶ γνώσῃ, ὅτι ἐγὼ Κύριος ὁ σῴζων σε,καὶ ὁ ἐξαιρούμενός σε ὁ Θεὸς Ἰσραήλ.

*Λιτή. Ἦχος α΄.*

Ὡς ἡ ῥάβδος τοῦ Μωϋσέως Σταυρὲ πανσεβάσμιε, προδιετυποῦσά σε τὴν Ἐρυθρὰν διεχώρησε θάλασσαν, ἵνα διέλθῃ ὁ λαὸς τοῦ Θεοῦ πρὸς γῆν τῆς ἐπαγγελίας, οὕτως σὺ διεχώρησας τὸ πέλαγος τοῦ θανάτου, καὶ ὡδήγησας τὸν νέον Ἰσραὴλ πρὸς νομὰς σωτηρίους·

ὅθεν σὲ ἀτενίζουσαι πιστῶν αἱ χορεῖαι, δύναμιν λαμβάνομεν καλῶς διανῦσαι τὴν δύσβατον τοῦ βίου τρίβον, καὶ Χριστὸν εὐγνωμόνως δοξάζομεν, τὸν σὲ ἁγιάσαντα τοῖς οἰκείοις Αὐτοῦ ἀχράντοις αἵμασι, καὶ δεδωκότα ἡμῖν ὅπλον ἐν ταῖς καθ’ ἡμέραν μάχαις ἀήττητον.

*Ἦχος β΄.*

Μόχθοις ἀτρύτοις ἡ εὐσεβὴς βασιλομήτωρ Ἑλένη, ἐκ τῶν λαγόνων τῆς γῆς ἀνέσυρέ σε ὡς ὄλβον τιμαλφῆ, Σταυρὲ τοῦ Κυρίου πανθαύμαστε. Λάμψας γὰρ ὑπὲρ ἥλιον, ἐν τῇ ἐμφανείᾳ σου ἐν τῇ ἁγίᾳ Πόλει Σιών, τὴν Ἐκκλησίαν ἐκάλυψας τῷ φωτὶ τῆς σῆς αἰωνιζούσης δόξης· ὅθεν τὴν θείαν σου εὕρεσιν ἑορτάζοντες, ζοφώδους φθορᾶς σκοτείας λυτρούμεθα, καὶ τὸν ὑπὲρ ἡμῶν ἐπὶ σοὶ σταυρωθέντα Χριστὸν δοξάζομεν.

*Ἦχος γ΄.*

Τὴν ἀνάμνησιν ἄγοντες τῆς λαμπρᾶς εὑρέσεως τοῦ Σταυροῦ Σου, τὴν σὴν ἀγαθότητα γεγηθότες δοξάζομεν Κύριε· ὅτι ἡμῖν αὐτὸν ἔδωκας ῥάβδον στηρίξεως στεῤῥοτάτην, ἐν ταῖς ἀναβάσεσι πρὸς κτῆσιν τῆς ἐνθέου γνώσεως. Μὴ οὖν παύσῃ ἐπιστηρίζων ἡμᾶς Ἐσταυρωμένε Σῶτερ, ἵνα τῆς Σῆς ἀξιωθῶμεν τρυφῆσαι χαρᾶς καὶ ἀλήκτου δόξης.

*Δόξα. Ἦχος δ΄.*

Τῆς εἰρήνης τὸ οὐράνιον σύμβολον, ὁ Σταυρὸς τοῦ Χριστοῦ σήμερον ἐκ γῆς ἀνασύρεται, καὶ πᾶς ὁ πιστὸς λαὸς ἁγιαζόμενος, ἐν κατανύξει ψυχῆς αὐτὸν κατασπάζεται. Δεῦτε οὖν καὶ ἡμεῖς ἀδελφοί, τῷ φέγγει

τῆς αὐτοῦ χάριτος ἐκδιώξωμεν τῶν παθῶν τὴν σκοτόμαιναν, καὶ τὸ ἀληθινὸ φῶς ἐκζητήσωμεν, τὸ θερμαῖνον καὶ φωτίζον τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίρει, ἐκ τῶν λαγόνων τῆς γῆς, σὲ ἀνασύρασα Σταυρὲ πανσεβάσμιε, ἡ θεία βασιλομήτωρ, Ἑλένη ἡ ἀγλαή, καὶ σὺν ταύτῃ ἅπας, χριστεπώνυμος, λαὸς ζωοπάροχον, Ξύλον καὶ τρισμακάριστον, ὅπλον ἐν μάχαις, τῶν πιστῶν ἀπροσμάχητον, παραμύθιον, θλιβομένων γλυκύτατον, ἄσειστον περιτείχισμα, ἐκ τῆς τοῦ ἀλάστορος, ἐπιδρομῆς εὐσεβούντων, χρυσοῦν ἀνάκτων διάδημα, ἰσχὺς Κωνσταντίνου, βασιλέως καὶ Ἀγγέλων, λαμπρῶν εὐπρέπεια.

Στ.: *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τὸ ὑποποδίον τῶν ποδῶν Αὐτοῦ.*

Χαίροις, ὁ τοῦ Κυρίου Σταυρός, τῶν δαιμονίων ὀλετὴρ ὁ δριμύτατος, προπύργιον ἱερέων, τῆς Ἐκκλησίας ἡμῶν, σθένος κλέος δόξα, καὶ κραταίωμα, νοσούντων ἡ ἴασιν, ἀδυνάτων ἡ δύναμις, ἰσχὺς καμνόντων, λυπουμένων ἀνάψυξις, καταφύγιον, γαληνὸν τῶν ἐν κύδωσι, βίου περιχαράκωμα, παρθένων ἀλάνθαστε, χειραγωγὲ πρὸς σοφίαν,

μαθητιώσης νεότητος, διάκοσμε θεῖε, θυρεοῦ χριστεπωνύμων, καὶ νίκης σύμβολον.

Στ.: *Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν, σωτηρίαν εἰργάσατο ἐκ μέσων τῆς γῆς.*

Σῷζε, τοὺς ἀνυμνοῦντας φαιδρῶς, τὴν σὴν ἀνέρευσον Σταυρὲ ζωοδώρητε, καὶ πίστει σε προσκυνοῦντας, ὥσπερ ἰσχύος πιστῶν, τρόπαιον καὶ τραῦμα, τοῦ πτερνίζοντος, ἀπαύστως τὸ βρότειον, γένος ὀδυνηρότατον, τῇ σῇ δυνάμει, γεγηθότες κραυγάζομεν, καὶ τοῖς ἄνθεσιν, ἐγκωμίων σε στέφομεν· σὲ γὰρ Χριστὸς ἐπότισεν, Αὐτοῦ θείοις χεύμασι, τῶν ζωογόνων αἱμάτων, ὁ ἐπὶ σοὶ ὥσπερ ἄνομος, παλάμας ἁπλώσας, ἵνα πρὶν τὰ διεστῶτα, ἑνώσῃ Κύριε.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ἀνέκλειπτον θησαυρὸν τῶν οἰκτιρμῶν Σου Κύριε, τοῖς πιστοῖς ἐδώρησας τὸν τίμιον καὶ ζωηφόρον Σταυρόν Σου. Δι᾽ αὐτοῦ γὰρ κομιζόμεθα δύναμιν ἄμφω ψυχῆς καὶ σώματος, καὶ ἰσχὺν πατῆσαι τοῦ δολίου τὸ φρύαγμα. Μὴ οὖν παύσῃ δι᾽ αὐτοῦ ἡμῖν παρεχόμενος, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τὸ μέγα καὶ πλούσιόν Σου ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄.*

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

*Δόξα. Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τοῦ Σταυροῦ τοῦ Σωτῆρος ἡμῶν τὴν εὕρεσιν, ὑπὸ Ἑλένης Ἁγίας, ἐν τοῖς λαγόσι τῆς γῆς, ἀνυμνοῦντες οἱ πιστοὶ εὐτάκτως κράζομεν· Ξύλον πανάγιο σεπτόν, καὶ μακάριον ἐν ᾧ, ἐτάθη Χριστὸς ἡ πάντων, ζωὴ σταυρῶσαι τὰ πάθη, ἡμᾶς δυνάμει Σου ἀξίωσον.

*Καὶ νῦν. Θεοτοκίον*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α’. Τὸν τάφον Σου Σωτήρ.*

Τὴν εὕρεσιν λαμπρῶς, τοῦ Σταυροῦ τοῦ Κυρίου, ὑμνοῦντες οἱ πιστοί, ὁλοθύμως βοῶμεν· Κρανίου ἐφώτισας, τόπον θείαις ἀκτῖσί σου, ὡς ἀνεῦρόν σε, ὑπὸ τὴν γῆν κεκρυμμένον, ἡ βασίλισσα, πνευματοφόρος Ἑλένη, Σταυρὲ ζωοπάροχε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον*

Βοήθει ἀκλινῶς, τοῖς πιστῶς προσιοῦσι, τῇ σκέπῃ Σου ἁγνή, Θεοτόκε Παρθένε, ἑτοίμη ἀντίληψις, εὐσεβῶν καὶ βοήθεια, τῶν ἐν κλύδωσι, καὶ τρικυμίαις τοῦ βίου, ἵνα πάντοτε, οἱ ἐμπερίστατοι ὕμνοις, φαιδροῖς Σε γεραίρομεν.

*Μετὰ τὴν β' Στιχολογίαν,*
*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε*

Σταυρὸν τὸν πανάγιον ὡς θησαυρὸν τιμαλφῆ, ἡ γῆ ὃν κατέκρυπτε Ἑλένη ἡ βασιλίς, ἀνεῦρε καὶ ὕψωσε, πρὸ τοῦ λαοῦ ὀμμάτων, πρὸς ἀέναον δόξαν, τοῦ ἐν αὐτῷ παγέντος, Ἰησοῦ ἐκ θανάτου, τοῦ σώσαντος σταυρώσει Αὐτοῦ, γένος μερόπειον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον*

Ἁγνὴ ἀειπάρθενε Ἀγγέλων ἡ χαρμονή, καὶ πάντων προσφύγιον τῶν εὐσεβῶν ἀσφαλές, ἀτρώτους συντήρησον, τῆς ἐχθρικῆς μανίας, καὶ δεινῆς ἐπηρείαις, Σοὶ καθ' ἑκάστην πίστει, τοὺς προσφεύγοντας Μῆτερ, καὶ ὕννοις θείοις εἰλικρινῶς, Σὲ μακαρίζοντας.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.*

Ἐκ γῆς ἀνέτειλε, Σταυρὸς ὁ ἄχραντος, ὡς ἄστρον πάμφωτον, φωτίζον ἅπαντας, ὁ διανοίξας οὐρανῶν τὴν πύλην τὴν κεκλεισμένην· ὅθεν οἱ τὴν ἔλλαμψιν ἐνεργείας δεξάμενοι, τῆς αὐτοῦ πρὸς ἄδυτον φῶς ἀεὶ

ὁδηγούμεθα, ματαίων μερίμνων τῶν τοῦ βίου πόῤῥω ἐλαύνοντες τὸν ζόφον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον*

Τὴν σκοτισθεῖσάν μου, ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος, τοῦ θείου Τόκου Σου, ἁγνὴ Παρθένε Μαριὰμ ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ Σοι· Χαῖρε ἡ κεχαριτωμένη

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τὸ ὑποποδίον τῶν ποδῶν Αὐτοῦ.*

Στ.: *Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν, σωτηρίαν εἰργάσατο ἐκ μέσων τῆς γῆς.*

Εὐαγγέλιον, τῆς ΙΔ΄ Σεπτεμβρίου.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Τῇ τοῦ Σοῦ Τιμίου Σταυροῦ Χριστέ, δυνάμει ἐνίσχυσον καὶ σῶσον τοὺς αὐτῷ προσκυνοῦντας.*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ὁλόφωτος ἤστραψας τῷ κόσμῳ Σταυρὲ τοῦ Κυρίου, καταυγάζων ἅπαντας ἀκτῖσι τῆς δόξης, τοῦ ἐπὶ σοὶ σταυρωθέντος· ὅθεν σὲ προσκυνοῦντες, ὡς σύμβολον ἡμῶν τῆς νίκης κατὰ τοῦ παλαμναίου, τὸν σὲ ἁγιάσαντα τρανῶς δοξάζομεν.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Σταυροῦ οὗ ἡ ἀκροστιχίς: *Χριστοφόρου Σταυροῦ ὑμνῶ εὕρεσιν. Χ. Μ. Μ.*

*ᾨδὴ α'. Ἦχος πλ. δ΄. Ἄισωμεν τῷ Κυρίῳ.*

Χαῖρε Σταυρὲ βοῶμεν, τρόπαιον ἀνάκτων καὶ κραταίωμας, καὶ ἀσπὶς ἡ τὰ βέλη, καθ' ἡμῶν τοῦ ἐχθροῦ ἀποκρούουσα.

Ῥύπου θανατηφόρου, γένος τῶν μερόπων ἀπεκάθηρεν, ὁ ἁπλώσας παλάμας, ἐπὶ σοὶ τριμερὲς Σταυρὲ τίμιε.

Ἵνα καθαγιάσῃ, κόσμον ἀνελκύσθη ὁ πανσέβαστος, ἐκ τῆς γῆς τῶν λαγόνων, τοῦ Κυρίου Σταυρὸς ὃν δοξάζομεν.

*Θεοτοκίον.*

Σὲ ἀνυμνολογοῦμεν, τὴν σαρκὶ τεκοῦσα τὸν Θεάνθρωπον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν μητράνανδρε Δέσποινα.

*ᾨδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.*

Τὸ τεῖχος τὸ ἄσειστον, τῆς Ἐκκλησίας Σου Κύριε, ὑπάρχει ὄντως Σταυρὸς ὁ θεῖος, ἣν φυλάττει ἀείποτε.

Ὀρθρίζοντες ἅπαντες, Σὲ ἀνυμνοῦμεν εὑράμενοι, Σταυρὸν Σὸν θεῖον ἄναρχε Λόγε· δι' οὗ κόσμον ἐκαίνισας.

Φαιδρῶς εὐτρεπίζεται, Σταυρὲ τῇ θείᾳ δυνάμει σου, ἡ Ἐκκλησία τοῦ σὲ Αἱμάτων, ῥοαῖς σεπταῖς ἁγιάσαντος.

*Θεοτοκίον.*

Ὁδόν μοι ὑπόδειξον, τῆς σωτηρίας τὸ δύσβατον, εὐλογημένη Θεογεννῆτορ, ἵνα ὕμνοις δοξάζω Σε.

*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Νίκην ᾔρατο, τῇ σῇ δυνάμει, ὁ Ἡράκλειος, καὶ Κωνσταντῖνος, καὶ σὺν τούτοις βασιλεῖς εὐσεβόφρονες, οἱ πεποιθότες σοι Ξύλον μακάριον, Σταυρὲ Χριστοῦ ζωηφόρε καὶ πάνσεπτε· ὅθεν ἅπαντες σὲ πόθῳ κατασπαζόμενοι, Χριστῷ τῷ ἐπὶ σοὶ τιθέντι ᾄδομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Μὴ ἐάσῃς με, Παρθενομῆτορ, τὸν οἰκέτην Σου, γενέσθαι πλάνου, τοῦ δολίου πολεμήτορος ἕρμαιον, καὶ ἐξ αὐτοῦ τῶν χειρῶν με ἐξάρπασον, τῇ μητρικῇ Σου δυνάμει Μητρόθεε, ἵνα χαίρων Σε ὑμνῶ καὶ γεραίρω πάντοτε, ἐλπὶς καταφυγὴ καὶ προστασία μου.

*Ὠδὴ δ’. Εἰσακήκοα Κύριε.*

Ῥάβδος πέλεις στηρίξεως, κλονουμένων πάντων Σταυρὲ ὑπέρτιμε, τοῦ Κυρίου καὶ παιδεύσεως, ἀπειθούντων καὶ ἐχθρῶν τῆς πίστεως.

Ὁ Σταυρὸς ὁ πανάγιος, ὃν βασιλομήτωρ Ἑλένη ὕψωσεν, ἐκ τῆς γῆς πρὸς ἀγαλλίασιν, εὐσεβῶν χαρᾶς με θείας ἔμπλησον.

Ὑμνῳδίαις ἑκάστοτε, στέφοντές σε Ξύλον ζωῆς ἀτέρμονος, χριστοφόρον ἀνακράζομεν· χριστωνύμων νίκης χαῖρε σύμβολον.

*Θεοτοκίον.*

Σὲ ἀεὶ προβαλλόμεθα, κατ᾽ ἐχθρῶν Μητρόθεε ἀπροσμάχητον, ὅπλον ἄγκυραν θεόσδοτον, καὶ χαρᾶς ἐλπίδα ἀδιάψευστον.

*ᾨδὴ ε᾽. Ὀρθρίζοντες βοῶμέν σοι.*

Τὸν πάνσεπτον Σταυρὸν ὃν ἑώρακεν, ἡ Ἑλένη, ἐκ τῆς γῆς ὑψούμενον, δόξαν Κυρίῳ ἀνέπεμπεν.

Ἀνάστασιν βροτῶν καὶ κατάπαυσιν, τῶν δαιμόνων, σὺ Σταυρὲ τρισύνθετε, πέλεις ἐκθύμως κραυγάζομεν.

Ὑπέδειξε Σταυρὸς μέγα τρόπαιον, Κωνσταντίνῳ, οὐρανὸς τῷ ἄνακτι, πίστιν ἁπλώσαντι πέρασι.

*Θεοτοκίον.*

Ῥευστῶν καὶ φθειρομένων ὑπέρτερον, τὸν Σὸν δοῦλον, δεῖξον τῇ Σῇ χάριτι, τὸν καταφεύγοντα Δέσποινα.

*ᾨδὴ στ᾽. Χιτῶνά μοι παράσχου.*

Ὁ πάνσεπτος Σταυρός Σου Ἰησοῦ, ἀσθενούντων ἴασις, πέλει καὶ δύναμις, τῶν καμνόντων καὶ δεινῶς παρασχόντων ἀεί.

Ὑφάπλωσον τὰς χεῖράς σου Σταυρέ, καὶ σοὺς δούλους σκέπασον, τοὺς τὸν πανάγιον, προσκυνοῦντας σὸν Σταυρὸν, ὁ Θεὸς ἡμῶν.

Ὑμνοῦντές σου τὴν εὕρεσιν Σταυρέ, ἐπὶ σοὶ ἐκτείναντος, χεῖρας τὸν Κύριον, προσκυνοῦμεν ἀγαθὸν Ἰησοῦν Χριστόν.

*Θεοτοκίον.*

Μαρία θαυμασίων κιβωτέ, πόθῳ μεγαλύνομεν, Σὲ πάντες μέροπες, ὡς τεκοῦσα ἐν σαρκὶ Χριστὸν τὸν Θεόν.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Τὸν πανσεβάσμιον Σταυρὸν κατασπασώμεθα, ὡς φυλακτήριον ἡμῶν καὶ θεῖον στήριγμα, καὶ κραταίωμα καὶ σκέπην ἐν ταπεινώσει· ἐπὶ σοὶ γὰρ τὰς ἀχράντους χεῖρας ἔτεινεν, ἵνα σώσῃ ἐκ θανάτου ὁ Θεάνθρωπος, τοὺς κραυγάζοντας· Χαῖρε Ξύλον πανάγιον.

*Ὁ Οἶκος.*

Ἄνασσα ἐκ λαγόνων, γῆς Σταυρὲ ζωηφόρε, Χριστοῦ ἀνέσυρέ σε Ἑλένη, καὶ ὡς τρόπαιον νίκης πιστῶν, τοῖς χοροῖς καὶ ὅπλον κραταιὸν ἔδωκε, τοῖς πόθῳ προσκυνοῦσί σε, καὶ ὕμνοις μελιχροῖς βοῶσι·

Χαῖρε, τὸ δένδρον τῆς εὐσεβείας·
χαῖρε, τὸ Ξύλον τῆς σωτηρίας.
Χαῖρε, Ἐκκλησίας τὸ ἄτρωτον σύμβολον·
χαῖρε, ἀφθαρσίας καὶ νίκης τὸ τρόπαιον.
Χαῖρε, ὅπλον ἀπροσμάχητον ἐν πολέμοις εὐσεβῶν·
χαῖρε, θεῖον παραμύθιον θλιβομένων χοϊκῶν.
Χαῖρε, ἐν ᾧ ἐπάγη ὁ Θεοῦ Θεὸς Λόγος·
χαῖρε, δι' οὗ ἐσώθη ὁ χριστώνυμος δῆμος.
Χαῖρε, χοροῦ τῶν πιστῶν φυλακτήριον·
χαῖρε, ἐχθροῦ πλάνου φυγαδευτήριον.
Χαῖρε, Σταυρέ, χαρμονὴ τῶν Ἀγγέλων·
χαῖρε, Σταυρέ, ὀλετὴρ τῶν δαιμόνων.

Χαῖρε, Ξύλον πανάγιον.

*Συναξάριον.*

*Τῇ ΣΤ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη τῆς Εὑρέσεως τοῦ Τιμίου Σταυροῦ καὶ τῶν Τιμίων Ἥλων, ὑπὸ τῆς Ἁγίας Ἑλένης*

*Δίδωσιν ἡμῖν Ἑλένη ταύτην χάριν,*
*Βλέπειν τὸ σῶσαν ἐκ φθορᾶς ἡμᾶς ξύλον.*
*Φανέντες ἧλοι Βασιλεῖ, τοῦ μὲν κράνους,*
*Ἄγαλμα κεῖνται, τοῦ χαλινοῦ δὲ κράτος.*

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Νίκας δίδως τοῖς πίστει προσκυνοῦσί σε Ξύλον Χριστοῦ σεβάσμιον, κατὰ τοῦ παλαμναίου, καὶ τὸν Ἐσταυρωμένον, Ἰησοῦν μακαρίζουσι, παρ’ Οὗ ἀπαύστως ἀντλεῖς, ἰσχὺν Σταυρὲ τρισμάκαρ.

Ὡς τὸν τύπον σου οἶδε Κωνσταντῖνος ὁ μέγας Σταυρὲ σεβάσμιε, ἐν οὐρανῷ καὶ φράσιν, ἐχθρὸν ἐν τούτῳ νίκα, ἐνεπλήσθη δυνάμεως, καὶ νικητὴς κατ’ ἐχθροῦ, ἐδείχθη τροπαιοῦχος.

Ἐσταυρώθη ὡς πλάνος ὁ Θεοῦ θεῖος Λόγος ἐπὶ τοῦ Ξύλου σου, Σταυρὲ ἵνα ζωώσῃ, ἡμᾶς τοὺς τεθνεῶτας, ζοφεροῖς ἀμπλακήμασι, καὶ καταστήσῃ Ἐδέμ, σεμνοὺς πολίτας αὖθις.

*Θεοτοκίον.*

Ὑπερύμνητε Μῆτερ θρηνωδοῦσα ἐβόας ὡς ἀναρτώμενον, κατεῖδες ἐπὶ Ξύλου, τὸ πάνσεπτόν Σου

τέκνον· ποῦ Υἱέ μου τὸ κάλλος Σου, τῆς παναγίας μορφῆς; ὢ φῶς τῶν ὀφθαλμῶν μου.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ῥοαῖς οἰκείων, ἡγίασέ σε αἱμάτων , ὁ Δεσπότης Σταυρὲ χριστοφόρε, ὁ ἐκπλύνας τούτοις, ἡμῶν τὴν ἁμαρτίαν.

Ἐκ τῶν ἐγκάτων, τῆς γῆς καμάτων ἰδίοις, εἵλκυσέ σε ἡ βασιλομήτωρ, εὐλαβὴς Ἑλένη, Σταυρὲ ἡμῶν τὴν δόξαν.

Σταυρὲ τὸ ξύλον, αἰσχύνης γέγονας Ξύλον, ζωηφόρων τῶν εὐσεβοφρόνων· διὰ σοῦ γὰρ πύλαι, ἐθραύθησαν τοῦ Ἅδου.

*Θεοτοκίον.*

Ἱκάνωσόν με, πατῆσαι πάγας τοῦ πλάνου, τῇ δυνάμει Σταυροῦ τοῦ Υἱοῦ Σου, κεχαριτωμένη, ἁγνὴ Θεοκυῆτορ.

*ᾨδὴ θ΄. Σὲ τὴν ἀπειρόγαμον.*

Νύκτα τὴν ἀσέληνον, φιλαμαρτήμονος ζωῆς μου, φέγγει ἀρετῶν ἀξίωσον, ἐκδιῶξαι αὐγαῖς Σοῦ Σταυροῦ, τοῦ ζωοπαρόχου Ἰησοῦ πολυεύσπλαγχνε, οἱ ἐν ζόφῳ νῦν κατακείμενοι κράζομεν.

Χαῖρε πανσεβάσμιε, Σταυρὲ Κυρίου ἐκβοῶντες, σκέπῃ τῇ σεπτῇ σου σπεύδομεν, χριστωνύμων ἁπάντων χοροί, καὶ τὸν ἐπὶ σοὶ Αὐτοῦ παλάμας ἐκτείναντα, ἀσιγήτοις δοξολογίαις μεγαλύνομεν.

Μέγα ἡμῖν τρόπαιον, Σταυρὲ τρισμάκαρ ἀνεδείχθης, κατ᾿ ἐχθρῶν ἀνόμων χάριτι, τοῦ ἐν σοὶ Σταυρωθέντος Θεοῦ, Ὃν ἀεὶ ᾀσμάτων μελιῤῥύτων τοῖς ἄνθεσι, σακροφόρων αἱ συστοιχίαι καταστέφομεν.

*Θεοτοκίον.*

Μῆτερ τοῦ παντάκατος, Χριστοῦ γλυκεῖα Θεοτόκε, Σοὺς οἰκέτας ῥῦσαι θλίψεων, συμφορῶν καὶ παντοίων δεινῶν, ἵνα εἰς αἰῶνας τῶν αἰώνων γηθόμενοι, μυστικαῖς Σε δοξολογίαις μεγαλύνομεν.

*Ἐξαποστειλάριον. Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.*

Νικοποιῷ προσπέσωμεν, Σταυρῷ πιστῶν τῷ φύλακι, καὶ οἰκουμένης ἁπάσης, τῇ ὡραιότητι πάντες, πανευλαβῶς κραυγάζοντες· Σταυρὲ Χριστοῦ πανθαύμαστε, τῇ σῇ δυνάμει ἔμπλησον, ἡμᾶς ἰσχύος καὶ θάῤῥους, βαδίσαι τρίβον εὐθεῖαν.

*Θεοτοκίον.*

Τοὺς πόθῳ μεγαλύνοντας, πληθὺν τῶν θαυμασίων Σου, Θεοκυῆτορ Παρθένε, εὐλογημένη Μαρία, ὁδήγει πρὸς μετάνοιαν, καὶ πολιτείαν κρείττονα, ἵνα εὐκλείας τύχωμεν, τῆς ἐν τῷ πόλῳ ἀλήκτου, καὶ δόξης αἰωνιζούσης.

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Πεύκη κέδρος καὶ κυπάρισσος, ὑπὸ τοῦ Λὼτ ἐν ταυτῷ, συμφυεῖσαι ἐβλάστησαν, ξύλον τὸ τρισύνθετον, τοῦ Σταυροῦ τὸ πανάγιον, ὅπερ οἱ κτίσται περιεφρόνησαν, τοῦ Σολομῶντος, ναοῦ ὡς ἄχρηστον,

πρὸς σταυρὸν τοῦ Κτίσαντος, πᾶσαν τὴν γῆν, ἀνεδείχθη ὕστερον, τοῦ Παντοκράτορος.

Ξύλον τοῦ Σταυροῦ τὸ ἅγιον, ἐν ᾧ ἐτάθη Χριστός, ὡς ληστὴς καὶ παράνομος, ὁ ἀμνὸς ὁ ἄκακος, Ἰησοῦς ὁ Θεάνθρωπος, καὶ ὅπερ ὄμβροις, ἰδίου αἵματος, ἐν τῷ Κρανίου, τόπῳ ἡγίασεν, νῦν εὐσεβόφρονες, πόθῳ προσκυνήσωμεν ὡς τῆς ἡμῶν, νίκης μέγα τρόπαιον, κατὰ τοῦ δαίμονος.

Ξύλον ὃ ἡ γῆ ἐβλάστησε, ὡς θησαυρὸν τιμαλφῆ, τοῦ Σταυροῦ τὸ ὑπε΄ρτιμον, πλεῖστα ἔτη ἄνασσα, ἡ Ἑλένη ἐξήγαγεν, ἐκ ταύτης πόθῳ, καὶ παραδώσασα, τῇ Ἐκκλησίᾳ, εβόα χαίρουσα· χαῖρε θεόσδοτον, κόσμου φυλακτήριον χαῖρε πιστῶν, σκέπη χαῖρε δαίμονος, φυγαδευτήριον.

Δεῦτε τῶν βροτῶν συστήματα, τὸν χριστοφόρον Σταυρόν, εὐλαβῶς ἀσπασώμεθα, ὡς σημεῖον ἅγιον, καὶ πανίερον σύμβολον, τὸ ἐκδιῶκον, ἐχθρῶν τὰς φάλαγγας, καὶ δίδον νίκας, παντὶ πιστεύοντι, εἰς τὴν Θεότητα, ἐπ’ αὐτοῦ τοῦ τείναντος, ὡς ἀληθῶς, χεῖρας τοῦ Παντάνακτος, καὶ πανοικτίρμονος.

*Δόξα. Ἦχος πλ. α’.*

Ἑορτίου πανηγύρεως ἡμῖν πρόξενος γέγονε σήμερον, ἡ τοῦ τιμίου Σου Σταυροῦ εὕρεσις Κύριε. Οὗτος γὰρ θαυμαστωθεὶς ὑπὸ τῆς Σῆς ἀγαθότητος, φυγαδευτήριον ἀνεδείχθη εὐσεβούντων καὶ κραταίωμα. Μὴν οὖν παύσῃ Ἐσταυρωμένε Λόγε τοῦ Ὑψίστου, παρέχων ἡμῖν τὰ ἐλέη Σου, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον*

Ὅπλον ἀπροσμάχητον οἱ πιστοί, ἔχοντες ἐν μάχαις, καθ’ ἡμέραν βιοτικαῖς, τὸν τοῦ Θεανθρώπου, Σταυρὸν τὸν ζωηφόρον, τὰς φάλαγγας νικῶμεν, τοῦ παναλάστορος.

